24 Δακρύσαι· αἰτιατικῇ. Synt.

25 Δακρυόεντα: μετὰ δακρύων. Σ

26 Δακτυλήθρα: ἡ τοῦ δακτύλου σφενδόνη. καὶ δακτυλήθρας Δ
ἔχων ἐσθίειν λέγεται τὸ ὄψον, ἵν᾽ ὡς θερμότατον ἀναδιδῷ τῇ γλώττῃ.

27 Δακτύλιος: ἡ σφραγίς. ὁ δὲ Ἀννίβας ὁ Καρχηδονίων στρα- Δ
τηγός, Μαρκέλλου τοῦ ὑπάτου ἀποθανόντος, ἐπιστὰς τῷ σώματι αὐτοῦ, Ε
ὡς εἶδε τὰ τραύματα πάντα ἐπὶ τοῦ στέρνου, ἐπῄνεσε μὲν ὡς στρα-
τιώτην, ἐπέσκωψε δὲ ὡς στρατηγόν· καὶ τὸν δακτύλιον αὐτοῦ περιελὼν
ἐτύπωσεν ἐπιστολήν. σούκινοι καὶ ἐλεφάντινοι δακτύλιοι γυναιξὶν
εἰσι σύμφοροι.

28 Δάκτυλοι: παρὰ πολλοῖς οἱ βάλανοι τοῦ φοίνικος. καὶ παρ-
οιμία· Δακτύλου ἡμέρα: ἐπὶ τῶν εὐημερούντων. Δάκτυλος γάρ Prov.
τις ἀνὴρ γέγονεν Ἀθήνησι μεγίστων λαχὼν τιμῶν.

29 Δακίβιζα: ὄνομα τόπου. καὶ ζήτει ἐν τῷ Οὐάλης. Suid.

30 Δάλδις: πόλις Λυδίας. Suid.

31 Δαλίον: οὕτως οἱ κωμικοὶ διὰ τοῦ λ. φέρε δὴ τὸ δαλίον τόδ᾽ Ar.
ἐμβάψω. ἐδόκουν γὰρ καθαίρειν ἀποβάπτοντες τοῦ πυρός. οἱ δὲ
δᾳδίον γράφουσιν. ἡ δαλιδᾶς, τῆς δαλιδᾶ.

32 Δαλός: λαμπάς, ἢ ξύλου ἀπόκαυμα, ἢ δᾳδίον ἡμίφλεκτον. καὶ Σ
παροιμία· Δαλὸς εἰς πῦρ.

33 Δαμάγητος: ὄνομα κύριον. ὁ Ἡρακλεώτης. Suid.

34 Δαμαλήτης: ὄνομα κύριον. Δ

35 Δάμαλις: ζῷον. Δ

36 Δάμαρτος: γυναικός. Σ

37 Δαμασίφρων: ὁ ἀπατῆσαι δυνάμενος. Πίνδαρος· δαμασίφρονα Σ
χρυσόν.

38 Δαμασκηνός: ἀπὸ τόπου. Δ

39 Δαμάσκιος, Στωϊκὸς φιλόσοφος, Σύρος, Σιμπλικίου καὶ Εὐλαλίου Hesy.
τῶν Φρυγῶν ὁμιλητής· ἤκμαζεν ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων. γέ-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413864820/9 UNIVERSITÄT LEIPZIG